ἐκ γεωλόφου τινὸς στρατὸς Ῥωμαίων ὑπὸ Προκοπίῳ τῷ στρατηλάτῃ τατ-
τόμενος· ὃς κατιδὼν μέλλοντας κινδυνεύειν τοὺς ὁμοφύλους, ἐπι-
τίθεται κατὰ νώτου τῶν Περσῶν· καὶ μέσους λαβόντων τῶν οἱ περικυκλοῦντες
Ῥωμαίους μέσοι ληφθέντες· πρὸς τούτοις οὖν σύμπαντας οἱ Ῥωμαῖοι ἐν ὀλίγῳ
διαφθείραντες, ἐπὶ τοὺς ἐκ τῆς ἐνέδρας ἐπιόντας ἐπεστράτευσαν· ὁμοίως τε
καὶ τούτους σύμπαντας κατηκόντισαν. Οὕτω μὲν οὖν οἱ λεγόμενοι παρὰ
Πέρσαις ἀθάνατοι, θνητοὶ πάντες ἐδείχθησαν· δίκης πραξαμένου
τοῦ Χριστοῦ Πέρσας, ἀνθ' ὧν πολλοὺς αὐτοῦ θεράποντας εὐσεβεῖς ἄν-
δρας ἀπέκτειναν. Ὁ δὲ βασιλεὺς τῶν Περσῶν γνοὺς τὸ ἀτύχημα, προσ-
ποιεῖται μὲν μὴ εἰδέναι τὰ γενόμενα· δέχεται δὲ τὴν πρεσβείαν εἰπὼν
πρὸς τὸν πρεσβευτήν· οὐ Ῥωμαίοις εἴκων τὴν εἰρήνην ἀσπάζομαι· ἀλλὰ
σοὶ χάριν διδούς, ὅτι σε φρονιμώτατον πάντων τῶν Ῥωμαίων κατέλαβον.
Οὕτως μὲν καὶ διὰ τοὺς ἐν Περσίδι διωκομένους Χριστιανούς, ὁ πόλεμος
κατεστάλη· ὃς γέγονε μὲν ἐν ὑπατείᾳ τῶν δύο αὐτοκρατόρων· Ὁνωρίου τὸ τρισ-
καιδέκατον καὶ Θεοδοσίου τὸ δέκατον· τετάρτῳ ἔτει τῆς τριακοσιοστῆς
ὀλυμπιάδος. ἐπαύσατο δὲ καὶ ὁ ἐν Περσίδι κατὰ Χριστιανῶν διωγμός:

Οἷα τοῖς τῶν Περσῶν αἰχμαλώτοις Ἀκάκιος ὁ Ἀμίδης ἐπίσκοπος πεποίηκε: κα

Πόθεν δὴ καὶ Ἀκάκιον τὸν τῆς Ἀμίδης ἐπίσκοπον, πρᾶξις ἀγαθή, περιφα-
νέστερον πεποίηκε τοῖς πᾶσι μέν· ὡς γὰρ οἱ Ῥωμαίων στρατιῶται τοὺς
αἰχμαλώτους Περσῶν, οὓς ἐξ Ἀζαζηνῆς πορθήσαντες ἔλαβον, ἀποδοῦναι
τῷ Περσῶν βασιλεῖ κατ' οὐδένα τρόπον ἐβούλοντο, λιμῷ τε οἱ αἰχμάλωτοι
ἐφθείροντο περὶ τοὺς ἑπτακισχιλίους ὄντες τὸν ἀριθμόν, καὶ ταῦτα οὐ μι-
κρῶς ἐλύπει τὸν βασιλέα Περσῶν, τότε ὁ Ἀκάκιος, οὐ παρεῖδε ταῦτα γι-
νόμενα· συγκαλέσας δὲ τοὺς ὑπ' αὐτῷ κληρικούς, ἄνδρες, ἔφη, ὁ Θεὸς ἡμῶν,
οὔτε δίσκων οὔτε ποτηρίων χρῄζει· οὔτε γὰρ ἐσθίει οὔτε πίνει. ἐπεὶ μη-
δὲ προσδεής ἐστιν. ἐπεὶ τοίνυν πολλὰ κειμήλια χρυσᾶ τε καὶ ἀργυρᾶ ἡ ἐκκλη-
σία ἐκ τῆς εὐγνωμοσύνης τῶν προσηκόντων αὐτῇ κέκτηται, προσήκει ἐκ
τούτων ῥύσασθαί τε τῶν στρατιωτῶν τοὺς αἰχμαλώτους καὶ διαθρέψαι αὐτούς.
Ταῦτα καὶ ἄλλα πλείονα τούτοις παραπλήσια διεξελθών, χωνεύει μὲν
τὰ κειμήλια· τιμὴν δὲ τοῖς στρατιώταις ὑπὲρ τῶν αἰχμαλώτων κατα-
βαλών, καὶ διαθρέψας αὐτούς, εἶτα δοὺς ἐφόδια, τῷ οἰκείῳ ἀπέπεμψε
βασιλεῖ. Αὕτη ἡ τοῦ θαυμασίου Ἀκακίου πρᾶξις πλέον τὸν Περσῶν βα-
σιλέα κατέπληττεν, ὅτι ἀμφότερα Ῥωμαῖοι μεμελετήκασι· πολέμῳ
τε καὶ εὐεργεσίαις νικᾶν. φασὶ δὲ ὡς καὶ ἐπιθυμῆσαι ὁ Περσῶν βασιλεὺς εἰς ὄ-